θεολογήσας καὶ οἱ διδάσκαλοι,
ὁ τῶν συνόδων
τῶν ἁγίων καὶ τοῦ πανσέπτου συμβόλου ἀπρόσμαχος
πρόμαχος καὶ προστάτης
κατὰ χρέος εὐφημείσθω λαμπρῶς.
Τῆς οἰκουμένης ὁ μέγας ἑωσφόρος,
ὅταν ἐξανέτειλας
ἐκ τῆς ἑῴας λαμπρῶς
ὡς γίγας ἀγαλλιώμενος
ὁδὸν κυρίου
δραμεῖν καὶ πρὸς τὴν δύσιν κατέπλευσας,
τότε τὰς ἀκτῖνάς σου
τὰς ἱερὰς ἐπαφείς,
τοὺς μὲν πιστοὺς κατεφώτισας,
τοὺς δ' ἐκπεσόντας
πρὸς τὴν παράνομόν τε καὶ ἔκθεσμον
καινοτομίαν
τοῦ πανσέπτου καὶ πανιέρου συμβόλου τῆς πίστεως
ὡς σκηπτὸς καταφλέγεις
μεταγνῶναι μὴ ἐθέλοντας.

Ἕτερα. ἦχου πλ'. β'. Ὅλην ἀποθέμενοι.

Ὅλην τὴν διάνοιαν
τῶν ὁρωμένων ἐξάρας
καὶ τοὺς ὑπὲρ αἴσθησιν
διατρίψας, ὅσιε,
καὶ ἑνούμενος
τοῖς θείοις, γέγονας
ὅλος σκεῦος ἅγιον
πλῆρες ὄντως θείου πνεύματος·
ὅθεν καὶ ἔπνευσας
καὶ ὑπὲρ αὐτοῦ ψυχὴν ἔθηκας,
τὸν ζῆλον ἐνδειξάμενος,
ὃν ὁ Ἠλιοὺ ἐπεδείξατο,
καὶ θεολογήσας
τὴν τούτου ἐκπόρευσιν εὐσεβῶς,
τὴν ἐκκλησίαν ἐστήριξας
ἐν πέτρᾳ τῆς πίστεως.
Ὅλος ἐκ νεότητος
μισήσας κόσμον καὶ τούτου
τὰ τερπνὰ ὡς ἄστατα
καὶ ψευδῆ καὶ πρόσκαιρα